Θεοπόμπου (Χίου): Ἑλληνικά. Fragmenta 6.7.8.
In Car. et Theod. Muelleri: Fragmenta Historicorum Graecorum Paris 1841 v. I. σ. 278-279

Φησὶ δὲ τὴν Σηστὸν Θεόπομπος βραχεῖαν μὲν εὐερκῆ δέ· καὶ σκέλει διπλέθρῳ συνάπτειν πρὸς τὸν λιμένα· καὶ διὰ ταῦτ᾽ οὖν καὶ διὰ ῥοῦν κυρίαν εἶναι τῶν παρόδων (Strabo XIII, ρ. 884).

Petita haec videntur ex initio totius operis, ubi narranda erat pugna illa, qua Athenienses juxta Sestum commorantes vicerunt Lacedaemonios et Pharnabazum. Ol. 92.2.
Cf. Xen. Hell. 1,2, 1-13, Diodor. XIII, 45, 46, qui quum rem Xenophonte accuratius exponat, in multisque ab eo recedat, ducem habuerit Theopompum.

Θεόπομπος ἐν πρώτῳ Ἑλληνικῶν:
«Ἀνήχθησαν εἰς Χαλκηδόνα, καὶ Βυζάντιον μετὰ τοῦ λοιποῦ στρατεύματος, βουλόμενοι Χρυσόπολιν κατασχεῖν». (Stephanus: Χρυσόπολις).
Κ.λ.
V. Xenoph. Hell. I. 1,22, sqq.; Diodor. XIII, 64. (Ol. 92,4).

Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ πυθόμενοι τοὺς Λακεδαιμονίους πάσῃ τῇ δυνάμει πολιορκεῖν Λάμψακον, συνήγαγόν τε πανταχόθεν τριήρεις, καὶ κατὰ σπουδὴν ἀνήχθησαν ἐπ᾽ αὐτοὺς ναυσὶν ἑκατὸν ὀγδοήκοντα. εὑρόντες δὲ τὴν πόλιν ἡλωκυῖαν, τότε μὲν ἐν Αἰγὸς ποταμοῖς καθώρμισαν τὰς ναῦς· μετὰ δὲ ταῦτ᾽ ἐπιπλέοντες τοῖς πολεμίοις, καθ᾽ ἡμέραν εἰς ναυμαχίαν προεκαλοῦντο. Οὐκ ἀνταναγομένων δὲ τῶν Πελοποννησίων, οἱ μὲν Ἀθηναῖοι διηπόρουν ὅ, τι χρήσωνται τοῖς πράγμασιν, οὐ δυνάμενοι τὸν πλείω χρόνον ἐκεῖ διατρέφειν τὰς δυνάμεις.
Ἀλκιβιάδου δὲ πρὸς αὐτοὺς ἐλθόντος, καὶ λέγοντος ὅτι Μήδοκος καὶ Σεύθης οἱ

ἀκολουθ.

2/ 57b

τῶν Θρᾳκῶν βασιλεῖς εἶναι αὐτῷ φίλους, καὶ δύναμιν πολλὴν ὡμολόγησαν δώσειν, ἐὰν βούληται διαπολεμεῖν τοῖς Λακεδαιμονίοις· διόπερ αὐτοὺς ἠξίου μεταδοῦναι τῆς ἡγεμονίας, ἐπαγγελόμενος αὐτοῖς δυοῖν θάτερον, ἢ ναυμαχεῖν τοὺς πολεμίους ἀναγκάσειν, ἢ πεζῇ μετὰ Θρᾳκῶν πρὸς αὐτοὺς διαγωνιεῖσθαι.

Ταῦτα δὲ ὁ Ἀλκιβιάδης ἔπραττεν, ἐπιθυμῶν δι' ἑαυτοῦ τῇ πατρίδι μέγα τι κατεργάσασθαι, καὶ διὰ τῶν εὐεργεσιῶν τὸν δῆμον ἀποκαταστῆσαι εἰς τὴν ἀρχαίαν εὔνοιαν.

Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοί, νομίσαντες τῶν μὲν ἐλαττωμάτων ~~τὴν~~ ἑαυτοῖς τὴν μέμψιν ἀκολουθήσειν, τὰ δ' ἐπιτεύγματα προσάψειν ἅπαντας Ἀλκιβιάδῃ, ταχέως αὐτὸν ἐκέλευσαν ἀπιέναι καὶ μηκέτι προσεγγίζειν τῷ στρατοπέδῳ (Diodor. Sic. XIII, 105).

Haec, sicut quae sequuntur c. 106, ex Theopompo desumta esse ipsa narratio a Xenophontea multum discrepans demonstrat.
Ex eodem fonte sua hausit Cornel. Nep. Alcib. c. 8.